ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου τρόπου
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

στρ. α΄.

ΧΟ. εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν ἢ πρὸς Πυθίαις
ἢ λαμπάσιν ἀκταῖς,
οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν ἃ χρυσέα
κλῄς ἐπὶ γλώσσᾳ βέβακε προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ὀρειβάταν
Θησεΐδαν τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐτάρκει τάχ' ἀνσώσειν βοᾷ
τούσδ' ἀνὰ χώρους·

ἀντ. α΄.

ἦ που τάχ' ἐφ' ἕσπερον

1042. *τρόπου* mss. *χάριν* Bl. *τρόπου* glossema esse videtur. Cf. 569. *τὸ τὸν γενναῖον*. O. R. 644. *μή νυν ὀναίμην, ἀλλ' ἀραῖος — ὀλοίμην κτλ.* Eur. Or. 1677. Iph. A. 1088. Hel. 646. 1418.

1044. *ὅθι*] Qu. *ἵνα*. Cf. ad El. 709. *στάντες δ' ὅθ'* (*ἵν'*?) *αὐτοὺς* —. 1045. *τάχ' ἐπιστροφαὶ*] *τάχα συστροφαὶ* conj. Nauck.

1049. *σεμναὶ* mss. *σεμνὰ* Valck. *τιθηνοῦνται*] Nauckio suspectum. Sed cf. 680. *Διόνυσος — θείαις ἀμφιπολῶν τιθήναις*. Simonid. Fr. 150, 7. *εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Ἀρίστων Ἀργεῖος*. 1051. *καὶ* mss. Correxi *ἅ*.

1054. *ἐγρεμάχαν* L. *ὀρειβάταν* aut *ὀρειοβάταν* (*γρ.* apud schol.) al. Cf. 1065. *δεινὸς ὁ προσχώρων ἄρης*. Qu. *ὀρειμάχαν*. Quum etiam versus antistrophicus 1069 vitio laboret, emendatio hujus loci admodum incerta est.

1055. *Θησέα καὶ* mss. *ῥυσόμενον* Halm., ut *Θησέα* glossema sit. Dedi *Θησεΐδαν*. Cf. 1066. *δεινὰ δὲ Θησειδᾶν* (i. e. Atticorum) *ἀκμά*. *καὶ τὰς* mss. *παῖδας* Weckl.

1056. *ἀδελφεὰς* A. B. K. et L. corr. ab S. *ἀδελφὰς* T.

1057. *αὐτάρκει — βοᾷ*] Verba Nauckio suspecta. *τάχ' ἐμμίξειν* mss. Vitiosum. Qu. *μάχαν μίξειν* (Anglice, will engage in battle, cf. 1047. *ἄρη μίξουσιν*), aut potius *τάχ' ἀνσώσειν*. Cf. ad 1076.

1059. *ἦ που* mss. *ἤ που* Steph. Herm. Dind. *τὸν* mss. Lege



SLUB
Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG